16 ἀναμιμνῄσκουσα ἁμαρτίαν. [16]καὶ προσάξει αὐτὴν ὁ ἱερεὺς καὶ στή-
17 σει αὐτὴν ἔναντι κυρίου, [17]καὶ λήμψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν
ζῶν ἐν ἀγγείῳ ὀστρακίνῳ καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδά-
φους τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς
18 τὸ ὕδωρ, [18]καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι κυρίου καὶ
ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικὸς καὶ δώσει ἐπὶ τὰς χεῖρας
αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλοτυπίας,
ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπι-
19 καταρωμένου τούτου. [19]καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς καὶ ἐρεῖ τῇ γυ-
ναικί Εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆ-
ναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῷα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ
20 ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· [20]εἰ δὲ σὺ παραβέβηκας
ὑπ᾽ ἀνδρὸς οὖσα ἢ μεμίανσαι καὶ ἔδωκέν τις τὴν κοίτην αὐτοῦ ἐν
21 σοὶ πλὴν τοῦ ἀνδρός σου. [21]καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς
ὅρκοις τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί Δῴη κύριός
σε ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου ἐν τῷ δοῦναι
κύριον τὸν μηρόν σου διαπεπτωκότα καὶ τὴν κοιλίαν σου πεπρη-
22 σμένην, [22]καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦτο εἰς
τὴν κοιλίαν σου πρῆσαι γαστέρα καὶ διαπεσεῖν μηρόν σου. καὶ
23 ἐρεῖ ἡ γυνή Γένοιτο, γένοιτο. [23]καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς ταύ-
τας εἰς βιβλίον καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπι-
24 καταρωμένου [24]καὶ ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ
ἐπικαταρωμένου, καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικατα-
25 ρώμενον τοῦ ἐλεγμοῦ. [25]καὶ λήμψεται ὁ ἱερεὺς ἐκ χειρὸς τῆς γυ-
ναικὸς τὴν θυσίαν τῆς ζηλοτυπίας καὶ ἐπιθήσει τὴν θυσίαν ἔναντι
26 κυρίου καὶ προσοίσει αὐτὴν πρὸς τὸ θυσιαστήριον, [26]καὶ δράξεται
ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς καὶ ἀνοίσει αὐτὸ
ἐπὶ τὸ θυσιαστήριον καὶ μετὰ ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ.
27 [27]καὶ ἔσται ἐὰν ᾖ μεμιαμμένη καὶ λήθῃ λάθῃ τὸν ἄνδρα αὐτῆς,
καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τὸ ἐπικαταρώ-
μενον, καὶ πρησθήσεται τὴν κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐ-
28 τῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀρὰν ἐν τῷ λαῷ αὐτῆς· [28]ἐὰν δὲ μὴ
μιανθῇ ἡ γυνὴ καὶ καθαρὰ ᾖ, καὶ ἀθῴα ἔσται καὶ ἐκσπερματιεῖ
29 σπέρμα. — [29]οὗτος ὁ νόμος τῆς ζηλοτυπίας, ᾧ ἐὰν παραβῇ ἡ
30 γυνὴ ὑπ᾽ ἀνδρὸς οὖσα καὶ μιανθῇ· [30]ἢ ἄνθρωπος, ᾧ ἐὰν ἐπέλθῃ
ἐπ᾽ αὐτὸν πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ
στήσει τὴν γυναῖκα αὐτοῦ ἔναντι κυρίου, καὶ ποιήσει αὐτῇ ὁ ἱε-
31 ρεὺς πάντα τὸν νόμον τοῦτον· [31]καὶ ἀθῷος ἔσται ὁ ἄνθρω-

18 ο ιερ. / την γυν.] tr. B† | θυσιαν $1^{0} \frown 2^{0}$ B*† | το επικαταρωμενον τουτο A: cf. 23. 24 ($1^{0}$) et 24 ($2^{0}$). 27 || 19 υπο] προς A† || 20 ὑπ᾽ ἀνδρὸς Ra.] ὕπανδρος editiones: item in 29 || 21 ορκοις] λογοις B† | κυριος σε] tr. A || 25 προς] επι A || 27 εαν] + μεν A | εν > BS*†